**ΕΥΑΓΓΕΛΙΟΝ ΣΤΑ ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ ΤΗΣ ΚΥΡΙΑΚΗΣ Ζ', 22 ΙΟΥΛΙΟΥ 2012**

## ΚΥΡΙΑΚΗ ΕΒΔΟΜΗ
### Ἐκ τοῦ κατὰ Ματθαῖον
### θ΄ 27 - 35

Τῷ καιρῷ ἐκείνῳ παράγοντι τῷ Ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες· Ἐλέησον ἡμᾶς, υἱὲ Δαυΐδ. ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ· Ναί, Κύριε. τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων· Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· Ὁρᾶτε μηδεὶς γινωσκέτω. οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. Αὐτῶν δὲ ἐξερχομένων ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον· καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός. καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες, Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. οἱ δὲ Φαρισαῖοι ἔλεγον· Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

---

**ΕΥΑΓΓΕΛΙΟΝ ΣΤΑ ΝΕΟ ΕΛΛΗΝΙΚΑ ΤΗΣ ΚΥΡΙΑΚΗΣ Ζ', 22 ΙΟΥΛΙΟΥ 2012**

## ΚΥΡΙΑΚΗ ΕΒΔΟΜΗ
### Ἐκ τοῦ κατὰ Ματθαῖον Κεφαλαιο 9: 27 – 35
### Θεραπεία δύο τυφλών

Και καθώς ο Ιησούς προχώρησε πιο πέρα, τον ακολούθησαν δυο τυφλοί φωνάζοντας: Ελέησέ μας, Γιε του Δαβίδ. Κι όταν έφτασε στο σπίτι, τον πλησίασαν οι τυφλοί. Τους λέει τότε ο Ιησούς: Πιστεύετε ότι μπορώ να το κάνω αυτό; Του λένε: Ναι, Κύριε. Τότε άγγιξε τα μάτια τους λέγοντας: Ας γίνει σε σας σύμφωνα με την πίστη σας. Κι ανοίχτηκαν τα μάτια τους! Μα ο Ιησούς τους πρόσταξε έντονα λέγοντάς τους: Προσέξτε μην το μάθει κανένας. Εκείνοι, όμως, βγήκαν και τον διαφήμισαν σε όλη εκείνη την περιοχή.

### Θεραπεία ενός κωφάλαλου δαιμονισμένου

Και την ώρα που έβγαιναν αυτοί έξω, του έφεραν έναν δαιμονισμένο κωφάλαλο. Και μόλις ο Ιησούς έβγαλε το δαιμόνιο, ο κωφάλαλος μίλησε κι όλοι θαύμασαν λέγοντας πως κάτι τέτοιο δε φάνηκε ποτέ άλλοτε στο Ισραήλ. Μα οι Φαρισαίοι έλεγαν: Μέσω του αρχηγού των δαιμονίων βγάζει τα δαιμόνια.

### Περιοδεία, διδαχή και θεραπεία κάθε είδους αρρώστιας και πάθησης

Έτσι, λοιπόν, περιόδευε ο Ιησούς σε όλες τις πόλεις και τα χωριά, διδάσκοντας στις συναγωγές τους και κηρύττοντας το καλό άγγελμα της βασιλείας και θεραπεύοντας κάθε αρρώστια και κάθε πάθηση ανάμεσα στο λαό.